ξας, φονευτής ἐστιν· θανάτῳ θανατούσθω ὁ φονεύων· ὁ ἀγχιστεύ-
ων τὸ αἷμα ἀποκτενεῖ τὸν φονεύσαντα ἐν τῷ συναντῆσαι αὐτῷ.
22 — [22]ἐὰν δὲ ἐξάπινα οὐ δι᾽ ἔχθραν ὤσῃ αὐτὸν ἢ ἐπιρρίψῃ ἐπ᾽ αὐ-
23 τὸν πᾶν σκεῦος οὐκ ἐξ ἐνέδρου [23]ἢ παντὶ λίθῳ, ἐν ᾧ ἀποθανεῖ-
ται ἐν αὐτῷ, οὐκ εἰδώς, καὶ ἐπιπέσῃ ἐπ᾽ αὐτόν, καὶ ἀποθάνῃ, αὐτὸς
24 δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν οὐδὲ ζητῶν κακοποιῆσαι αὐτόν, [24]καὶ
κρινεῖ ἡ συναγωγὴ ἀνὰ μέσον τοῦ πατάξαντος καὶ ἀνὰ μέσον τοῦ
25 ἀγχιστεύοντος τὸ αἷμα κατὰ τὰ κρίματα ταῦτα, [25]καὶ ἐξελεῖται ἡ
συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ
ἀποκαταστήσουσιν αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγα-
δευτηρίου αὐτοῦ, οὗ κατέφυγεν, καὶ κατοικήσει ἐκεῖ, ἕως ἂν ἀπο-
26 θάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃν ἔχρισαν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ. [26]ἐὰν
δὲ ἐξόδῳ ἐξέλθῃ ὁ φονεύσας τὰ ὅρια τῆς πόλεως, εἰς ἣν κατέ-
27 φυγεν ἐκεῖ, [27]καὶ εὕρῃ αὐτὸν ὁ ἀγχιστεύων τὸ αἷμα ἔξω τῶν ὁρίων
τῆς πόλεως καταφυγῆς αὐτοῦ καὶ φονεύσῃ ὁ ἀγχιστεύων τὸ αἷμα
28 τὸν φονεύσαντα, οὐκ ἔνοχός ἐστιν· [28]ἐν γὰρ τῇ πόλει τῆς κατα-
φυγῆς κατοικείτω, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, καὶ μετὰ τὸ
ἀποθανεῖν τὸν ἱερέα τὸν μέγαν ἐπαναστραφήσεται ὁ φονεύσας εἰς
29 τὴν γῆν τῆς κατασχέσεως αὐτοῦ. [29]καὶ ἔσται ταῦτα ὑμῖν εἰς δι-
καίωμα κρίματος εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις ταῖς κατοικίαις
30 ὑμῶν. — [30]πᾶς πατάξας ψυχήν, διὰ μαρτύρων φονεύσεις τὸν φο-
νεύσαντα, καὶ μάρτυς εἷς οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν.
31 [31]καὶ οὐ λήμψεσθε λύτρα περὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ
32 ἐνόχου ὄντος ἀναιρεθῆναι· θανάτῳ γὰρ θανατωθήσεται. [32]οὐ λήμ-
ψεσθε λύτρα τοῦ φυγεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων τοῦ πάλιν
33 κατοικεῖν ἐπὶ τῆς γῆς, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας. [33]καὶ
οὐ μὴ φονοκτονήσητε τὴν γῆν, εἰς ἣν ὑμεῖς κατοικεῖτε· τὸ γὰρ
αἷμα τοῦτο φονοκτονεῖ τὴν γῆν, καὶ οὐκ ἐξιλασθήσεται ἡ γῆ ἀπὸ
τοῦ αἵματος τοῦ ἐκχυθέντος ἐπ᾽ αὐτῆς, ἀλλ᾽ ἐπὶ τοῦ αἵματος τοῦ
34 ἐκχέοντος. [34]καὶ οὐ μιανεῖτε τὴν γῆν, ἐφ᾽ ἧς κατοικεῖτε ἐπ᾽ αὐτῆς,
ἐφ᾽ ἧς ἐγὼ κατασκηνώσω ἐν ὑμῖν· ἐγὼ γάρ εἰμι κύριος κατασκη-
νῶν ἐν μέσῳ τῶν υἱῶν Ισραηλ.
36 [1]Καὶ προσῆλθον οἱ ἄρχοντες φυλῆς υἱῶν Γαλααδ υἱοῦ Μαχιρ
υἱοῦ Μανασση ἐκ τῆς φυλῆς υἱῶν Ιωσηφ καὶ ἐλάλησαν ἔναντι
Μωυσῆ καὶ ἔναντι Ελεαζαρ τοῦ ἱερέως καὶ ἔναντι τῶν ἀρχόντων

21 αποκτενει] παταξει A† || 22 εξαπινης A || 25 συναγωγη 1° ⌒ 2° B* (uid.)† | αποκαταστησ. — αυτου] εις την πολιν του φυγαδευτηριου αποκαταστησει αυτον η συναγωγη A† | κατοικηση B || 28 καταφυγης] + αυτου A | και > B*† || 30 φονευσει A | ψυχην ult.] -ης B† || 31 περι] επι A || 32 των > B* || 33 εις ην] εφ ης A | κατοικειτε] + επ αυτης A | ουκ] ου μη A† || 34 κατασκηνωσω] -νω ABc | εν υμιν] επ αυτης A | κατασκηνων] pr. ο A

36 1 αρχοντες] + πατριων A